
02/03/2021

2 Μαρτίου: Σαν σήμερα αγιοκατάχθηκε ο Άγιος Εφραίμ

/ Επικαιρότητα




Μεγάλη μέρα για την Ορθοδοξία η 2α ΜΑΡΤΙΟΥ, γιατί σαν σήμερα, το 2011, με Πατριαρχική Πράξη υπογράφτηκε η επίσημη Αγιοκατάταξη του Αγίου Εφραίμ του Όρους των Αμώμων (Νέας Μάκρης) και η Εκκλησία μας απέκτησε ένα νέο, πολύ μεγάλο Άγιο, ιδιαίτερα αγαπητό στους πιστούς παγκοσμίως.

Οι Φίλοι του Αγίου Εφραίμ από τον Νομό Μεσσηνίας αναρτούν επί τούτω την Πατριαρχική και Συνοδική Πράξη της Αγιοκατατάξεως:

Φίλοι Αγίου Εφραίμ Νεοφανούς Νομού Μεσσηνίας
10 λ. ·

2.3.2021
12Η ΕΠΕΤΕΙΟΣ ΕΠΙΣΗΜΗΣ ΑΓΙΟΚΑΤΑΤΑΞΗΣ ΑΓΙΟΥ ΕΦΡΑΙΜ (2.3.2011)
Μεγάλη μέρα για την Ορθοδοξία η 2α ΜΑΡΤΙΟΥ, γιατί σαν σήμερα, το 2011, με Πατριαρχική Πράξη υπογράφτηκε η επίσημη Αγιοκατάταξη του Αγ. Εφραίμ και η Εκκλησία μας απέκτησε ένα νέο, πολύ μεγάλο Άγιο, ιδιαίτερα αγαπητό στους πιστούς.
Δοξασμένο να είναι τ' όνομά Του στους αιώνες των αιώνων. Αμήν!
Στην παρούσα δημοσίευσή μας θ' αναφερθούμε στο γεγονός αυτό, προκειμένου να μάθουν όσοι τον ευλαβούνται και τον αγαπού...
Δείτε περισσότερα



Πατριαρχική και Συνοδική Πράξις Αγιοκατατάξεως Αγίου Εφραίμ του Νέου

Αριθμ. Πρωτ. 217

Τοὺς τεκμήρια ἔκτακτα τῆς εἰς Χριστὸν πίστεως αὐτῶν παρεχομένους καὶ ὑπὲρ ταύτης μαρτυρικῶς τελειουμένους καὶ ἐν τῷ μετὰ σώματος βίῳ καταρθώμασιν ἀρετῆς διαπρέψαντας καὶ μετὰ θάνατον τοῦ χαρίσματος τῆς τῶν θαυμάτων ἐνεργείας παρὰ Θεοῦ ἀξιωθέντας εὐλαβεῖσθαι καὶ τιμᾶν, ἐτησίως τε τελετοῖς καὶ ἐγκωμίων ὕμνοις γεραίρειν, ὅσιον καὶ τῷ τῆς Ἐκκλησίας πληρώματι ἐνισταμένων πέφυκεν· τοῦτο μέν, ὅτι ὁ τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀπονεμόμενος ἔπαινος εἰς αὐτὸν τὸν Θεὸν ἀναφέρεται, παρ' Οὗ πᾶσα ἀρετὴ εἰς ἀνθρώπους, ὡς θεολογῶν ὁ τῆς θεολογίας ἐπώνυμος ἀποφαίνεται Γρηγόριος, τοῦτο δ' ἐπειδὴ ὁ περὶ τὰ καλὰ ἔπαινος τοὺς

Εἰς ἔνδειξιν δὲ τούτου καὶ βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ ἡμῶν καὶ Συνοδικὴ Πρᾶξις, κατεστρωθεῖσα μὲν καὶ ὑπογραφεῖσα ἐν τῷδε τῷ Ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δὲ καὶ ἀπαραλλάκτως ἀποσταλεῖσα τῷ Μακαριωτάτῳ Ἀρχιεπισκόπῳ Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ. Ἱερωνύμῳ πρὸς διαβίβασιν τῷ Ἱερωτάτῳ Μητροπολίτῃ Κηφισίας, Ἀμαρουσίου καὶ Ταρσοῦ κυρίῳ Κυρίλλῳ, πρὸς ἐπ' ἐκκλησίας ἀνάγνωσιν καὶ κατάθεσιν εἴτα ἐν τοῖς Ἀρχείοις τῆς κατ' αὐτὸν Ἱερᾶς Μητροπόλεως.

Ἐν ἔτει σωτηρίῳ ,βια' , κατὰ μῆνα Μάρτιον (β')
Ἐπινεμήσεως Λ'

Πατριαρχική και Συνοδική Πράξις Αγιοκατατάξεως Αγίου Εφραίμ του Νέου



Αριθμ.Πρωτ. 217

Τούς τεκμήρια ἐκτακτα τῆς εἰς Χριστόν πίστεως αὐτῶν παρεχομένους καί ὑπέρ ταύτης μαρτυρικῶς τελειουμένους καί ἐν τῷ μετά σώματος βίῳ κατορθώμασιν ἀρετῆς διαπρέψαντας καί μετά θάνατον τοῦ χαρίσματος τῆς τῶν θαυμάτων ἐνεργείας παρά Θεοῦ ἀξιωθέντας εὐλαβεῖσθαι καί τιμάν, ἐτησίοις τε τελεταῖς καί ἐγκωμίων ὕμνοις γεραίρειν, ὅσιον καί τῷ τῆς Ἐκκλησίας πληρώματι λυσιτελέστατον πέφυκεν· τοῦτο μέν, ὅτι ὁ τοῖς κατ' ἀρετήν βεβιωκόσιν ἀπονεμόμενος ἔπαινος εἰς αὐτόν τόν Θεόν ἀναφέρεται, παρ' Οὗ πάσα ἀρετή εἰς ἀνθρώπους, ὡς θεολογῶν ὁ τῆς θεολογίας ἐπώνυμος ἀποφαίνεται Γρηγόριος, τοῦτο δ' ἐπειδή ὁ περί τά καλά ἔπαινος τούς μέν ραθύμους καί ὀκνηρούς πρός τήν τῆς ἀρετῆς κατόρθωσιν παραζηλοῖ καί προτρέπεται, τούς δέ φιλοπόνως πρός αὐτήν φερομένους ἀκμαιοτέρους ἐργάζεται.

Ἐπειδή τοίνυν τοιούτοις ἐξόχοις ἀρετῆς κατορθώμασι διακέκριται καί ὁ ἐκ Νέας Μάκρης Αττικῆς Μοναχός Ἐφραίμ ἐν Ὁσιότητι βιώσας καί ἐν ἔτει 1426 ἐν τῷ Ὄρει τῶν Ἀμώμων «Πεντελικῷ» Αττικῆς μαρτυρήσας, ἡ Μετριότης ἡμῶν μετά τῶν περί ἡμᾶς Ἱερωτάτων Μητροπολιτῶν καί ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καί συλλειτουργῶν, πρός τήν θεάρεστον πολιτείαν καί τάς πράξεις καί τά κατορθώματα αὐτοῦ ἀπιδόντες, καθ' ἃ ὑπέβαλε τῇ Ἐκκλησίᾳ διά τῆς Ἱερᾶς Συνόδου τῆς Ἀγωπάτης Ἐκκλησίας τῆς Ἑλλάδος ὁ ἐπιτόπιος Ἱεράρχης Ἱερώτατος Μητροπολίτης Κηφισίας, Ἀμαρουσίου καί Πρωποῦ κ. Κύριλλος, τῶν πιστῶν αὐτοῦ πεποιθότων ἀεί καί πιστευόντων περί τῆς ἁγιότητος αὐτοῦ, καί λαβόντες ὑπ' ὄψιν τήν κοινήν πάντων ἐπιθυμίαν καί παράκλησιν περί κατατάξεως αὐτοῦ ἐν τῇ τῶν Ἁγίων χορείᾳ, ἐγνωμεν, τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει κατακολουθοῦντες, τήν προσήκουσαν τῷ Ὁσιομάρτυρι τούτῳ ἀπονεῖμαι τιμήν διά τῆς καταχωρίσεως αὐτοῦ εἰς τάς ἁγιολογικάς δέλτους αὐτῆς.

Διό καί θεσπίζομεν Συνοδικῶς καί διοριζόμεθα καί ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι, ὅπως ἀπό τοῦ νῦν καί εἰς τό ἑξῆς εἰς αἰῶνα τόν ἅπαντα ὁ εἰρημένος ἐν τῷ Ὄρει τῶν Ἀμώμων μαρτυρικῶς τελειωθείς Ἐφραίμ ὁ νέος συναριθμῆται τοῖς μάρτυσι καί Ἁγίοις τῆς Ἐκκλησίας, ἐτησίοις ἱεροτελεστίαις καί ἁγιστείαις τιμώμενος καί ὕμνοις ἐγκωμίων γεραιρόμενος τῇ μέν ε' Μαΐου, ἐν ᾗ μακαρίως πρός τόν Κύριον ἐξεδήμησε, τῇ δέ γ' Ἰανουαρίου, ἐπί τῇ εὑρέσει τῶν ἱερῶν αὐτοῦ λειψάνων.

Εἰς ἔνδειξιν δέ τούτου καί βεβαίωσιν ἐγένετο καί ἡ παροῦσα Πατριαρχική ἡμῶν καί Συνοδική Πρᾶξις, καταστρωθεῖσα μέν καί ὑπογραφεῖσα ἐν τῷδε τῷ Ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δέ καί ἀπαραλλάκτῳ ἀποσταλεῖσα τῷ Μακαριωτάτῳ Ἀρχιεπισκόπῳ Ἀθηνῶν καί πάσης Ἑλλάδος κ. Ἱερωνύμῳ πρός διαβίβασιν τῷ Ἱερωτάτῳ Μητροπολίτῃ Κηφισίας, Ἀμαρουσίου καί Πρωποῦ κυρίῳ Κυρίλλῳ, πρός ἐπ' ἐκκλησίας ἀνάγνωσιν καί κατάθεσιν εἶτα ἐν τοῖς Ἀρχείοις τῆς κατ' αὐτόν Ἱερᾶς Μητροπόλεως.

Ἐν ἔτει σωτηρίῳ ,βια' , κατά μῆνα Μάρτιον (β')
Ἐπινεμήσεως Δ'

